# ΑΣΜΑΤΙΚΗ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

# ΒΟΥΚΟΛΟΥ ΚΑΙ ΠΟΛΥΚΑΡΠΟΥ

ΕΠΙΣΚΟΠΩΝ ΣΜΥΡΝΗΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΣΜΥΡΝΗ.

ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΑΜΑΛΘΕΙΑΣ.

1886.



ΛΙΘΟΓΡ. Μ. ΝΙΚΟΛΑΙΔΟΥ

Ο ΑΓΙΟΣ ΒΟΥΚΟΛΟΣ —ο— Ο ΑΓΙΟΣ ΠΟΛΥΚΑΡΠΟΣ

ΕΠΙΣΚΟΠΟΙ ΣΜΥΡΝΗΣ

# ΠΡΟΛΟΓΟΣ.

—

Ἑορταζομένων εἰδικῶς ἐν Σμύρνῃ μετὰ τῆς προσηκούσης ἐκκλησιαστικῆς εὐλαβείας καὶ παρατάξεως ὑπὸ τοῦ ὀρθοδόξου πληρώματος τῶν ἐν Ἁγίοις πατέρων ἡμῶν Βουκόλου καὶ ἱερομάρτυρος Πολυκάρπου, τῶν πρώτων τούτων ἐπισκόπων καὶ προστατῶν τῆς ἐκκλησίας Σμύρνης, ὑπῆρχεν ἐν χειρογράφοις συμπεπληρωμένη ἡ ἐν τοῖς Μηναίοις ᾀσματικὴ αὐτῶν ἀκολουθία, ἱκανὰ ὅμως ἔχουσα τὰ ἡμαρτημένα. Τὴν ἱερὰν ταύτην ἀκολουθίαν τῶν πολιούχων τῆς Σμύρνης καὶ πάσης τῆς Ἰωνίας διορθωθεῖσαν ὑπὸ τοῦ νῦν Μητροπολίτου Σμύρνης κυρίου Βασιλείου πρέπον καὶ εὔλογον ἐκρίναμεν νὰ ἐκδώσωμεν διὰ τοῦ τύπου πρὸς κοινὴν ὠφέλειαν καὶ χρῆσιν τῶν εὐσεβῶν χριστιανῶν τῶν ὅσοι ἀλλαχοῦ εὐλαβείᾳ τῇ πρὸς τοὺς φίλους τοῦ Θεοῦ ἀγόμενοι ποθοῦσι νὰ τιμῶσι τὴν μνήμην αὐτῶν πανηγυρικώτερον. Ἐπισυνήφθησαν δὲ καὶ αἱ εἰκόνες τῶν Ἁγίων. Ἐπὶ τούτῳ ἐλάβομεν καὶ τὴν προσήκουσαν τῆς ἐκκλησιαστικῆς ἀρχῆς ἄδειαν.

Ἅπασα ἡ προκύψουσα ὑλικὴ ὠφέλεια ἐκ τῆς ἐκδόσεως τῆς ἱερᾶς ταύτης ἀκολουθίας εἶναι προωρισμένη πρὸς οἰκοδομὴν καὶ ἀποτελείωσιν τοῦ ἱεροῦ ναοῦ, τὸν ὁποῖον ἀνεγείρει ἀπό τινος ἐπ' ὀνόματι τῶν πολιούχων Ἁγίων Βουκόλου καὶ Πολυκάρπου ἡ εὐλάβεια τῶν Σμυρναίων κατὰ τὴν συνοικίαν Δωρεόκηπον (Μπεδααβὰ μπαξὲ) καὶ ὅστις δι' ἔλλειψιν πόρων εἶναι εἰσέτι ἡμιτελής. Γνωστὸν δὲ, ὅτι εἰς τὸ μέρος τοῦτο ἐν καιρῷ τῆς ἀνοίξεως

*τῶν θεμελίων ἀνευρέθησαν δείγματα ὑπάρξεως παλαιοῦ χριστιανικοῦ ναοῦ, οἷον θυμιατήριον καὶ ἕτερά τινα ἐκκλησιαστικὰ σκεύη καὶ πολλαὶ ἀρχαιότητες, γενομένης κατόπιν ἀνασκαφῆς εἰς τὰ πέριξ.*

*Τιμὴ τοῦ φυλλαδίου ὡρίσθη εἰς γρόσια 10. Ὁ δὲ βουλόμενος δύναται νὰ προσφέρῃ ὅ,τι ἂν περιπλέον ὑπὸ τῆς εὐσεβοῦς αὐτοῦ προαιρέσεως ὁδηγηθῇ.*

*Ἐν Σμύρνῃ, τῇ 2 Ἰανουαρίου 1886.*

Ἡ Ἐπιτροπὴ τοῦ Ἱεροῦ Ναοῦ τῶν Ἁγίων
ΒΟΥΚΟΛΟΥ καὶ ΠΟΛΥΚΑΡΠΟΥ.

ΤΗ͂Ι ϛ΄. ΦΕΒΡΟΥΑΡΙΟΥ

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΒΟΥΚΟΛΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ.

Ἑσπέρας, εἰς τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν προσόμοια τοῦ Ἁγίου γ΄. δευτεροῦντες αὐτά.

Ἦχος δ΄. ὡς γενναῖον ἐν Μάρτυσι.

*Ἀρετῶν ταῖς λαμπρότησιν ἀπαστράπτων τοῖς πέρασιν, ἐν Ἁγίῳ Πνεύματι ἀναδέδειξαι, ἱεραρχῶν ἀκροθίνιον, σοφίᾳ τῶν λόγων σου, ἐκκλησίας τοῦ Χριστοῦ διδασκάλων ὁμότροπος καὶ ὁμότιμος, μαθητὴς θεηγόρος ἀποστόλων γεγονώς, σοφὲ Βουκόλε, Ἱερομύστα θεσπέσιε.*

*Τὸ Πανάγιον Πνεῦμά σε ἁγιάσαν, μακάριε, διὰ σοῦ τῇ ποίμνῃ σου δαψιλεύεται, ἁγιασμὸν καὶ χαρίσματα παντοῖα δωρούμενον. Ὅθεν ἅπαντες πιστῶς τὴν σὴν μνήμην γεραίροντες, ἀρυόμεθα ἱλασμόν, φωτισμὸν καὶ σωτηρίαν, Ἱεράρχα τοῦ Κυρίου καὶ μυστολέκτα Θεόσοφε.*

Ὀρθοδόξων τὸν πρόμαχον, καὶ τῆς Σμύρνης θεόσοφον, Ἱεράρχην ᾄσμασιν εὐφημήσωμεν, ὅτι τὸν δρόμον τετέλεκε, τὴν πίστιν τετήρηκε, καὶ ἐδείχθη ἀληθῶς εὐσεβείας διδάσκαλος, ἱκετεύει τε τοῦ σωθῆναι πρεσβεύων τῷ Κυρίῳ τὰς ψυχὰς τῶν ἀνυμνούντων, Τριάδος μίαν Θεότητα.

### Δόξα, τοῦ Ἁγίου ἦχος πλ. β'.

Θεράπων ὄντως Χριστοῦ, παμμακάριστε Βουκόλε Ἱεράρχα, σὺ ταῖς τῶν ἀποστόλων διδασκαλίαις ἑπόμενος, τῆς Τριάδος ἐγένου λαμπρὸν οἰκητήριον, καὶ θείων χαρισμάτων ἀξιωθεὶς, τῆς λογικῆς μάνδρας τοῦ Χριστοῦ ποιμὴν καλὸς ἀναδέδειξαι· ἐκ δὲ σκότους τῆς πλάνης εἰς γνῶσιν ἀληθῆ δᾳδουχῶν τὰ ἔθνη ὡδήγησας τῷ φωτὶ τῆς εὐσεβείας. Ὅθεν καὶ σὺν ἀγγέλοις τῷ Σωτῆρι λειτουργῶν νῦν ἐν οὐρανοῖς, μὴ διαλίπῃς πρεσβεύων ἀπὸ πάσης ἐναντίας περιστάσεως ῥυσθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου.

Καὶ νῦν, τῆς ἑορτῆς. Ἀνοιγέσθω ἡ πύλη. Εἴσοδος. Φῶς ἱλαρὸν, καὶ τὰ ἀναγνώσματα τοῦ Ἁγ. Νικολάου. (Ζήτ. τῇ ς'. Δεκεμβρίου.)

### Εἰς τὴν λιτὴν ἰδιόμελα ἦχος α'.

Εὐφραίνου σήμερον ἐν Κυρίῳ πόλις ἡ τῶν Σμυρναίων πνευματικῶς πανηγυρίζουσα. Ἰδοὺ γὰρ πάρεστιν ἡ ἐτήσιος μνήμη τοῦ σεπτοῦ ἱεράρχου, Βουκόλου τοῦ παμμάκαρος. Δεῦτε οὖν φιλέορτοι, τὴν πανσεβάσμιον ταύτην ἡμέραν ταῖς ἀρεταῖς φαιδρύνοντες, ἐν καθαρᾷ καρδίᾳ δοξάσωμεν τὸν τοῦτον δοξάσαντα Σωτῆρα Κύριον

Ἐπέλαμψε σήμερον ἡ πάνσεπτος μνήμη τοῦ σεπτοῦ ἱεράρχου, Βουκόλου τοῦ παμμάκαρος, καὶ πάντες πόθῳ προστρέχουσι τῷ σεπτῷ αὐτοῦ τεμένει τὰς ἰάσεις πλουσίως ἀρυόμενοι. Διὸ γεραίρει



αὐτὸν πόλις ἅπασα θείοις ἐγκωμίοις καταστέφουσα καὶ λέγουσα· χαίροις τῶν Ἀποστόλων ὁ σεπτὸς διάδοχος καὶ τῶν Σμυρναίων πρόεδρος, ὁ πρεσβεύων Κυρίῳ ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

Ἐκ κοιλίας μητρὸς τὸν Χριστὸν ἀγαπήσας, δοχεῖον σεπτὸν ἐγένου τοῦ Πνεύματος. Ὅθεν καὶ ὁ ἠγαπημένος μαθητὴς ἐπαξίως σε ποιμένα τῆς Σμύρνης προχειρίζεται· ἥνπερ καθάπερ λύχνος φαεινὸς ταῖς ἀρεταῖς ἐφωταγώγησας, καὶ τῇ σαγήνῃ τῶν θείων λόγων σου πάντας εἰς πίστιν προσείλκυσας, τοῦ Θεολόγου διάδοχε σεπτὲ, Βουκόλε ὅσιε.

### Ἦχος β'.

Εὐσεβείας τοῖς τρόποις καθοπλισθεὶς, ἀσεβείας τὴν πλάνην κατέβαλες ὅσιε· καὶ τῷ αὔλῳ φωτὶ τῶν θεουργιῶν ἐλλαμφθεὶς, Ἄγγελος ἐν σαρκὶ ἐφάνης πανόλβιε, πολιτείας τύπος θεαρέστου καὶ ὑπογραμμὸς τῇ ποίμνῃ σου γενόμενος. Ὅθεν ἐπαξίως ἐδόξασε τοῖς θαύμασι σοῦ τὴν μνήμην τὴν πανίερον ὁ Κύριος, καὶ ἡμῖν δωρεῖται διὰ σοῦ ἱλασμὸν καὶ μέγα ἔλεος.

### Δόξα, ἦχος ὁ αὐτός.

Τὸν ἐπὶ γῆς Ἄγγελον καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τῶν πιστῶν τὴν προστασίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν, ἱεραρχῶν τὸ καύχημα, Βουκόλον τὸν ἀοίδιμον τιμητικῶς ἀνυμνήσωμεν. Ἐν ταῖς αὐλαῖς γὰρ Κυρίου ἐμφυτευθεὶς ἐξήνθησε δικαίως, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ ἐπλήθυνε τὰ ποίμνια τῶν λογικῶν προβάτων Χριστοῦ, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Καὶ νῦν, τῆς ἑορτῆς. Τὸν ἱερὸν ἡ ἱερά.

### Εἰς τὸν στίχον, προσόμοια ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πᾶσαν ἀρετῆς ἐν σεαυτῷ, συλλαβὼν ἰδέαν παμμάκαρ, ὄντως ἐδείχθης κανὼν, βίου ἀκριβέστατος, καὶ ἀνεκήρυξας ἀγνοούντων

τοῖς πλήθεσι, Τριάδος τὸ κράτος, καὶ ἀπαντλησάμενος ἐκ ζωηῤῥύτων πηγῶν, νάματα ζωῆς αἰωνίου, ταύτης κληρονόμος ἀξίως γέγονας, Βουκόλε ἱερώτατε.

### Μακάριος ἀνὴρ ὁ φοβούμενος.

Ὤφθης ζηλωτὴς τῶν τοῦ Χριστοῦ, θείων προσταγμάτων παμμάκαρ, καὶ εὐσεβῶν καλλονή· ὅθεν καὶ προστάτην σε τῆς Ἐκκλησίας θερμὸν, τῆς Σμυρναίων προὐβάλετο τὸ Ἅγιον Πνεῦμα, Βουκόλε σεβάσμιε, θεράπον ὄντως Χριστοῦ· ᾧ νῦν παριστάμενος μάκαρ, μὴ παύσῃ πρεσβεύων σωθῆναι πάντας τοὺς γεραίροντας τὴν μνήμην σου.

### Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται.

Κλέος ἱερέων καὶ πιστῶν, θεῖον ἐγκαλλώπισμα Πάτερ, σὲ εὐφημοῦμεν φαιδρῶς, ᾄσμασι γεραίροντες μνήμην τὴν πάντιμον. Τοῖς Χριστοῦ γὰρ διδάγμασι κατακολουθήσας ἔλαμψας τῇ ποίμνῃ σου καὶ μυστηρίων Θεοῦ, Πνεύματος Ἁγίου μεθέξει, γέγονας πιστὸς οἰκονόμος, βρύων τοῖς χαρίσμασιν ἀοίδιμε.

### Δόξα, ἦχος πλ. ά.

Σήμερον ἡ τῶν Σμυρναίων πόλις ταῖς σαῖς Ἱεράρχα αὐγάζεται ἀκτῖσι. Σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἐπὶ τῇ σῇ ἀγαλλομένῃ μνήμῃ τὸν σὲ δοξάσαντα δοξάζει Κύριον. Σὺ γὰρ δι' ἐγκρατείας τῶν τοῦ σώματος παθῶν κυριεύσας, ἀδούλωτος τὴν ψυχὴν ἐγένου ταῖς τοῦ πλάνου προσβολαῖς, καὶ τῆς ὁμοουσίου Τριάδος διαλάμπων ταῖς ἀρεταῖς, θείου φωτὸς οἰκητήριον ἐχρημάτισας, μεγαλοκῆρυξ γενόμενος. Αὐτῇ οὖν παριστάμενος ἀεὶ πρέσβευε ὑπὲρ τῆς ποίμνης σου, ὅσιε.

### Καὶ νῦν, τῆς ἑορτῆς. Ἦχ. ὁ αὐτός. Ἐρευνᾶτε τὰς γραφάς.

### Ἀπολυτίκιον. Κανόνα πίστεως.

### Δόξα, καὶ νῦν, τῆς ἑορτῆς.



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

### Μετὰ τὴν ά. στιχολογ. Κάθισμα.

### Ἦχος ά. Χορὸς Ἀγγελικός.

Βουκόλος ὁ κλεινὸς, τοῦ Σωτῆρος τῇ ζεύγλῃ, λαοὺς ὑπαγαγὼν τῇ χρηστῇ ἐκ τῆς πλάνης, καὶ σκότους ἠλευθέρωσεν ἀγνωσίας τῆς χάριτος, καὶ ὡδήγησεν εἰς οὐρανῶν βασιλείαν. Τοῦτον ἅπαντες ἀνευφημήσωμεν πόθῳ, ὡς ὄντως μακάριον.

### Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Χορὸς Ἀγγελικός.

### Μετὰ τὴν β'. στιχολογ. Κάθισμα ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τὸν βίον εὐσεβῶς ἐπὶ γῆς διανύσας, λυχνία φωτεινὴ τῆς Χριστοῦ Ἐκκλησίας, ἐδείχθης ταῖς λαμπρότησι, ταῖς τῶν ἔργων φωτίζουσα, τὰ συστήματα τῶν εὐσεβούντων παμμάκαρ, καὶ διέλυσας τῆς ἀγνωσίας τὸ σκότος, Βουκόλε Πατὴρ ἡμῶν.

### Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Ὁ ὢν σὺν τῷ Πατρί.

### Μετὰ τὸν πολυέλεον.

### Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀρετῶν μαρμαρυγαῖς καθάπερ λύχνον φαεινὸν, ἐξαστράπτοντα εὑρὼν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ὁ Θεολόγος προστάτην σε ἀνέδειξε. Θείῳ γὰρ φωτὶ λαμπρυνθεὶς τὴν ψυχὴν, τὸ πνεῦμά σου σοφὲ διὰ τῆς πίστεως, εἰς οὐρανοὺς ἀνέτεινας κἀκεῖθεν, βυθὸν δογμάτων ἀνείλκυσας. Διό σε Πάτερ ἀνευφημοῦντες, τὸν Σωτῆρα δοξάζομεν.

Δόξα, καὶ νῦν, τῆς ἑορτῆς. Νηπιάζει δι' ἐμέ. Οἱ ἀναβαθμοὶ τοῦ δ'. ἤχου. Προκείμ. Οἱ ἱερεῖς σου Κύριε. Πᾶσα πνοή.

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Εἶπεν ὁ Κύριος. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. (Ζήτει Δεκεμβρίου ϛ').*

Ὁ. Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου, καὶ νῦν, ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεήμων ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον ἦχος β'. (Ζήτει ἐν τῇ λιτῇ).

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ κανὼν τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου (ἐκ τοῦ Μηναίου).

Ἀφ' ἕκτης Κοντάκιον τοῦ Ἁγίου

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ στρατηγῷ.

*Ὡς ἱεράρχην Ἐκκλησίας εὐφημοῦμέν σε, ὡς μαθητὴν καὶ μιμητήν, Βουκόλε πάνσοφε, μαθητῶν Χριστοῦ πρὸ πάντων ἠγαπημένου· μεθ' οὗ πρέσβευε ῥυσθῆναι τοὺς τιμῶντάς σε, ἐκ παντοίων ἀναγκῶν καὶ περιστάσεων, καὶ βοῶντάς σοι, χαίροις Πάτερ τρισόλβιε.*

Ὁ Οἶκος.

*Ἄγγελος ἐδείχθης ἐν σαρκὶ θεοφόρε, ἰσάγγελον βιώσας ἐν γῇ βίον· εἰς θεωρίας γὰρ ἐπίβασιν τὴν πρᾶξιν εὗρες θεόπνευστε ἄγουσαν, καὶ ὥς τις ἄσαρκος ἤρθης τῷ πνεύματι μετάρσιος ἐμβατεύων εἰς τὰ ἄδυτα καὶ ἀπόρρητα Θεοῦ μυστήρια. Ὅθεν ἀκούεις· χαῖρε πασῶν ἀρετῶν ταμεῖον· χαῖρε φωτὸς τοῦ θείου δοχεῖον· χαῖρε ἱερὸν ἐγκρατείας ἐντρύφημα· χαῖρε ἁγνείας λαμπρὸν ἐνδιαίτημα· χαῖρε λύχνε παμφαέστατε καταυγάζων τοὺς πιστούς· χαῖρε στύλε πυραυγέστατε τὸν νέον Ἰσραὴλ ὁδηγῶν· χαῖρε ποιμένων ἀκριβέστατος τύπος· χαῖρε χαρίτων εὐωδέστατος κῆπος· χαῖρε ἀστὴρ Ἀσίας λαμπρότατος· χαῖρε φωστὴρ Σμυρναίων φαεινότατος· χαῖρε δι' οὗ ἡ Ἐκκλησία κοσμεῖται· χαῖρε δι' οὗ Χριστὸς ἀνυμνεῖται· χαίροις πάτερ τρισόλβιε.*



ΤΗ ϛ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βουκόλου ἐπισκόπου Σμύρνης.

*Σμύρνης ὁ ποιμὴν Βουκόλος θειοπόλος*
*ἄγρυπνός ἐστι καὶ θανὼν ποίμνης φύλαξ*
*Ἀγλαὸν ἠελίοιο φάος λίπε Βουκόλος ἕκτῃ.*

ΟΥΤΟΣ ὁ ἅγιος, οὗ τὸ γένος καὶ τὴν πατρίδα οὐ παρέδωκεν ἡμῖν ἡ Ἐκκλησιαστικὴ ἱστορία, ἐκ νεαρᾶς ἡλικίας ἑαυτὸν καθαγνίσας κατοικητήριον γέγονε τοῦ Ἁγίου Πνεύματος. Δόκιμον οὖν εὑρὼν αὐτὸν ὁ πανεύφημος καὶ ἠγαπημένος τῷ Χριστῷ ἀπόστολος Ἰωάννης ὁ Θεολόγος ἐχειροτόνησεν ἐπίσκοπον καὶ ποιμένα τῆς ἐν Σμύρνῃ Ἐκκλησίας. Πεφωτισμένος δὲ ὑπὸ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος ἀνεδείχθη ὄντως ἱεράρχης καὶ ποιμὴν θειότατος, φωτίζων τοὺς ἐν τῷ σκότει τῆς εἰδωλολατρείας καθημένους Ἕλληνας καὶ υἱοὺς φωτὸς καὶ ἡμέρας ἀναδεικνύων διὰ τοῦ σωτηρίου Βαπτίσματος. Γνοὺς δὲ τὴν προσέγγισιν τοῦ θανάτου καὶ κηδόμενος τῆς ποίμνης αὐτοῦ ἐθέσπισε διάδοχον τὸν Ἅγιον Πολύκαρπον, καὶ οὕτως εὐχαρίστως πρὸς Κύριον ἐξεδήμησε. Μετὰ δὲ τὴν ταφὴν θέλων ἵνα δοξάσῃ αὐτὸν ὁ δοξάζων τοὺς δοξάσαντας αὐτὸν καὶ ἐν ἁγίοις δοξαζόμενος Κύριος ηὐδόκησεν ἐκβλαστῆσαι δένδρον ἐπὶ τοῦ τάφου παρέχον παντοίας ἰάσεις πᾶσι τοῖς ἐν πίστει προστρέχουσιν.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ Ἰσαποστόλου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

*Ἤστραψε τοῖς λόγοισι Φώτιος μέγας.*
*Φῶς εὐσεβέσοι, πῦρ δ' ἐναντίους φλέγον.*
*Ἄντυγ' ἐς οὐρανίην ἀναδέδρομε Φώτιος ἕκτῃ.*

Ὁ μέγας οὗτος ἱεράρχης καὶ λαμπρὸς τῆς Ἐκκλησίας φωστὴρ καὶ διδάσκαλος, Φώτιος ὁ ἁγιώτατος καὶ σοφώτατος, ἤκμασεν ἐν τοῖς χρόνοις τῶν Ῥωμαίων αὐτοκρατόρων Μιχαὴλ υἱοῦ Θεοφίλου καὶ Βασιλείου τοῦ Μακεδόνος καὶ Λέοντος τοῦ υἱοῦ αὐτοῦ. Πατρὶς αὐτῷ ἦν ἡ Κωνσταντινούπολις,

ἐγεννήθη δ' ἐκ γονέων περιφανῶν καὶ εὐσεβῶν, ἀθλησάντων γενναίως ὑπὲρ τῆς τῶν ἁγίων εἰκόνων τιμῆς καὶ ἀξιωθέντων τοῦ μαρτυρικοῦ στεφάνου. Ὑπὸ τοιούτων γονέων εὐσεβῶς καὶ λαμπρῶς ἀνατραφεὶς, ἀτρύτους πόνους καὶ μελέτας κατέβαλε καὶ ἐγένετο κάτοχος τῆς τε θείας σοφίας καὶ τῆς θύραθεν παιδείας εἴ περ τις καὶ ἄλλος τῶν συγχρόνων· ἡνίκα δὲ τοῖς πρωτίστοις τῶν ἀξιωμάτων διέπρεπεν ἐν τοῖς βασιλείοις ἐναρέτῳ καὶ Θεοφιλεῖ πολιτείᾳ βίου κοσμούμενος, τότε δὴ προνοίᾳ Θεοῦ ἐκ τῆς τάξεως τῶν λαϊκῶν ἀνάρπαστος, ὡς εἰπεῖν, γενόμενος ἐγχειρίζεται τοὺς οἴακας τοῦ ἁγιωτάτου ἀποστολικοῦ θρόνου τῆς Κωνσταντινουπόλεως ἐν ἔτει ὀκτακοσιοστῷ πεντηκοστῷ ὀγδόῳ.

Τοῦ γὰρ ἐν ἁγίοις Ἰγνατίου βίᾳ βασιλικῇ ἀπομακρυνθέντος καὶ τοῦ θρόνου οὕτω χηρεύσαντος, ψήφοις κανονικοῖς προεχειρίσθη διάδοχος ὁ θεῖος Φώτιος βασιλικῇ δυναστείᾳ ὑπείξας εἰς ἀποδοχὴν, καρεὶς πρῶτον μοναχὸς καὶ εἶτα κατὰ τάξιν ἐντὸς ἑβδομάδος χειροτονηθεὶς διάκονος, πρεσβύτερος, ἐπίσκοπος. Ἀναλαβὼν οὕτω τοὺς οἴακας τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας ὁ μακάριος καὶ σοφώτατος Φώτιος πολλοὺς μὲν ὑπέστη ἀγῶνας ὑπὲρ τῆς ὀρθοδόξου πίστεως κατὰ τῶν δυσσεβῶν Μανιχαίων καὶ τῶν εἰκονομάχων καὶ ἄλλων ἀσεβῶν αἱρετικῶν καὶ μάλιστα κατὰ τῆς τότε πρῶτον ἀναφανείσης παπικῆς ἐπάρσεως καὶ ἀλαζονείας, ἧς τὸν ἀρχηγὸν Νικόλαον Πάπαν Ῥώμης γραφικαῖς ἀποδείξεσι καὶ πατρικαῖς ἐξελέγξας λαμπρῶς καθεῖλε συνοδικῶς ὡς βλάσφημον καὶ ἑωσφορικῇ ἀλαζονείᾳ τετυφλωμένον καὶ περὶ τὰ καίρια καινοτομοῦντα εἰς τὸ τῆς πίςεως σύμβολον, οἷα ἡ ἄθεσμος προσθήκη, «καὶ ἐκ τοῦ Υἱοῦ» (*filioque*). Πολλοὺς δ' ἐπὶ τούτοις διωγμοὺς καὶ κινδύνους καὶ ἐπιβουλὰς καὶ καταδρομὰς καὶ κακώσεις καὶ βασάνους ὑπέστη χριστομιμήτως ὁ στεῤῥὸς οὗτος καὶ ἀδαμάντινος τὴν ψυχὴν πρόμαχος τῆς ἀληθείας παρὰ τῶν τοῦ παπισμοῦ θιασωτῶν. Καὶ ταῦτα μὲν δὴ πάντα διηγεῖται κατὰ πλάτος ἡ κατ' αὐτὸν ἱστορία. Τοσοῦτον δὲ μόνον εἰπεῖν ἱκανὸν ἐνταῦθα, ὅτι ἱερουργήσας ἀποστολικῶς τὸ εὐαγγέλιον, ἅπαν μὲν τὸ Βουλγάρων ἔθνος μετὰ τοῦ βασιλέως αὐτῶν εἰς Χριστὸν μυσταγωγήσας ἀνεγέννησε τῷ θείῳ λουτρῷ τοῦ βαπτίσματος, πολλοὺς δ' ἀπὸ διαφόρων αἱρέσεων, εἰς τὴν καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἐπανήγαγε, καὶ ποικίλα κατέλιπε συγγράμματα, κειμήλια πολυμαθείας θαυμάσια, πλήρη χάριτος καὶ σοφίας καὶ ἀληθείας, δι' ὧν τὰ τῶν κακοδόξων φρονήματα κατεβρόντησεν ὁ θεοῤῥήμων, ἔνθερμος ζηλωτὴς ὑπάρχων τῆς πατροπαραδότου ἀποστολικῆς καὶ ὀρθοδόξου πίστεως. Οὕτως οὖν ὁσίως καὶ εὐαγγελικῶς ποιμάνας τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ δὶς μὲν ἀναβὰς ἄκων εἰς τὸν θρόνον, δὶς δὲ βίᾳ τυραννικῇ ἐξωσθεὶς, πολλὰ δὴ καὶ καμὼν καὶ συγγραψάμενος ὑπὲρ τῆς εὐσεβείας, ἀπεδήμησεν ὁσίως πρὸς Κύριον ὁ μακάριος ἐν τῇ τῶν Ἀρμενιανῶν μονῇ, ὅπου ἐτύγχανεν ὑπερόριος. Τὸ δὲ ἱερὸν αὐτοῦ σκῆνος ἐναπετέθη ἐν τῇ μονῇ τῇ λεγομένῃ τῆς Ἠρεμίας ἢ Ἐρημίας, ὅπου ἐν τῷ Προφητείῳ, ἤτοι ναῷ τοῦ τιμίου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου ἐτελεῖτο πάλαι ἡ ἐτήσιος σύναξις αὐτοῦ· νῦν



δὲ τελεῖται ἐν τῇ κατὰ Χάλκην μονῇ τῆς Ἁγίας Τριάδος, ἧς ὑπάρχει κτίτωρ κατὰ τὴν παράδοσιν, ἔνθα συνέστη καὶ Θεολογικὴ σχολὴ τῆς ὀρθοδόξου καθολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐν ἔτει σωτηρίῳ ͵αωμδ'. ἐπὶ πατριάρχου Γερμανοῦ.

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἐμέσῃ.

*Χριστὸς τέτρηται χεῖρας ἥλοις καὶ πόδας*
*Ἰουλιανὸς προστίθησι καὶ κάραν.*

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, μνήμη τῶν Ἁγίων Μαρτύρων Φαύστης, Εὐϊλασίου καὶ Μαξίμου.

*Τρεῖς Μάρτυρες πάσχουσιν ἰχθύων πάθος,*
*Κοινῇ τυχόντες ὀργάνου τοῦ τηγάνου*

***Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.***

## Καταβασίαι τῆς ἑορτῆς. Εἰ δὲ ἐστὶ Τεσσαρακοστὴ, Ἀνοίξω τὸ στόμα μου.

## Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

***Ποιμαντικῶς ὡδήγησας πρὸς νομὰς εὐσεβείας, τὸ τοῦ Κυρίου ποίμνιον, πάνσοφε ἱεράρχα, ἀποσοβήσας ὡς λύμην πᾶσαν κακοδοξίαν. Νῦν δ' ἐποπτεύεις ἵλεως, καὶ ἡμᾶς οὐρανόθεν, ὡς παρεστὼς, σὺν τῷ Θεολόγῳ καὶ Πολυκάρπῳ, τῷ Θρόνῳ τῆς Θεότητος, παμμακάριστε Πάτερ.***

## Τῆς ἑορτῆς ὅμοιον.

***Τῶν κόλπων τοῦ γεννήτορος, οὐκ ἐκστὰς ἀποῤῥήτως, δι' ἄκραν ἀγαθότητα, ἐκ Παρθένου γεννᾶται καὶ νηπιάζει ὁ Λόγος, τοῦτον δὲ ἐν ἀγκάλαις Συμεὼν ὑποδέχεται, ἅμα τε ὁ πρεσβύτης καὶ γηραιὰ, ἀνθωμολογήσαντο ὡς Δεσπότῃ, ἐν ᾧ καὶ προεμήνυον τὴν βροτῶν σωτηρίαν.***

Ἡ Θεοτόκιον ὅμοιον, εἰ ἐστὶ Τεσσαρακοστή.

Δέσποινα πάντων ἄνασσα πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας μὴ Σατὰν ἡμᾶς λάβῃ, μὴ Ἅδης μὴ ἀπώλεια· βήματι τοῦ υἱοῦ σου, τῷ φοβερῷ, ἀνευθύνους ἅπαντας παραστῆναι, ὦ Θεομῆτορ Ἄχραντε, ποίησον σαῖς πρεσβείαις.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν προσόμοια δευτεροῦντες τὸ ά.

Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων χαρίτων ταῖς ἐπιλάμψεσι, καταυγασθεὶς ἐδείχθης, ἱεράρχης Κυρίου, λαμπρῶς καταφωτίζων τὸ τοῦ Χριστοῦ Ἐκκλησίας στερέωμα, ταῖς τῶν δογμάτων ἀκτῖσι καὶ ταῖς αὐγαῖς τῶν θαυμάτων Ἱερώτατε.

Τῶν ἀρετῶν διανύσας ἀνεπιστρόφως ὁδὸν, τὴν ἄγουσαν πρὸς θείαν, οὐρανῶν βασιλείαν, πρόεδρε Σμυρναίων Βουκόλε σοφὲ, ἐν αὐτῇ κατεσκήνωσας, μετὰ πάντων ἁγίων ἐνδελεχῶς ἱκετεύων τοῦ σωθῆναι ἡμᾶς.

Ἐνδιαθέτῳ στοργῇ σου Χριστὸν ἠγάπησας, ἐκ καθαρᾶς καρδίας, βδελυξάμενος πάντα, κόσμου τὰ ἡδέα, ἐβόας δ' αὐτῷ, Δαυϊτικῶς, ὡς ἡ ἔλαφος, πρὸς τὰς πηγὰς τῶν ὑδάτων ἐπιποθεῖ, ἡ ψυχή μου ἐπὶ σὲ ὁ Θεός.

Δόξα, ἦχος πλ. ά.

Ἀνέτειλεν ἡμῖν ἡ πάνσεπτος μνήμη τοῦ θειοτάτου ἱεράρχου, Βουκόλου τοῦ τρισμάκαρος· ἀνέτειλεν ὡς μέγας ἥλιος, καὶ τῆς τοῦ Χριςοῦ Ἐκκλησίας τὸ στερέωμα κατήστραψε, τῶν δὲ πιστῶν τὰς διανοίας κατεφώτισε, μετάρσιον τὴν καρδίαν αἴρουσα πρὸς τὸν κτίστην καὶ Σωτῆρα Κύριον. Διὸ ἀνυμνοῦντες λέγομεν·



Κύριε ὁ ἐν ταῖς μνείαις τῶν ἁγίων σου δοξαζόμενος, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, εἰρήνην ταῖς Ἐκκλησίαις σου δώρησαι καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, τῆς ἑορτῆς, ἡ μακαρίζομέν σε.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ, ὡς σύνηθες.

Σημ. Εἰ τύχοι ἡ ἑορτὴ τοῦ Ἁγίου Βουκόλου ἢ τοῦ Ἁγίου Πολυκάρπου ἐν ἡμέρᾳ Κυριακῇ ἢ ἐντὸς τῆς ἁγίας καὶ μεγάλης Τεσσαρακοστῆς, βλέπε τυπικὴν διάταξιν τῆς ί. καὶ κδ'. Φεβρουαρίου.

ΕΝΝΑΔΙΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΗ͂Ι ΚΓ΄. ΦΕΒΡΟΥΑΡΙΟΥ

## ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΟΛΥΚΑΡΠΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἑσπέρας, εἰς τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. ς. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε τῆς Παρθένου ὁ καρπὸς, καὶ ζωαρχικώτατος σπόρος, εἰς γῆν ἐνέπεσε, τότε σε πολύκαρπον στάχυν ἐβλάστησε, τοὺς πιστοὺς διατρέφοντα, τοῖς τῆς εὐσεβείας λόγοις τε καὶ δόγμασι, καὶ τῆς ἀθλήσεως, τούτους ἁγιάζοντα θείῳ, αἵματι καὶ ἱερωσύνης, μύρῳ καθαγνίζοντα Πολύκαρπε. (δίς.)

Ἔδυς ἐκ τοῦ κόσμου πρὸς Θεὸν, ταῖς μαρμαρυγαῖς ἀποστίλβων τοῦ μαρτυρίου σου, ἔστης τῆς ἐφέσεως, εἰς τὸ ἀκρότατον ὀρεκτὸν φθάσας ὅσιε, καὶ τῆς μακαρίας, αἴγλης ἐμφορούμενος, ἧς νῦν ἱκέτευε πάντας, ἐν μεθέξει γενέσθαι, τοὺς τὴν σὴν πανίερον μνήμην, μάκαρ ἑορτάζοντας Πολύκαρπε. (δίς.)

Ὅτε ἐπὶ ξύλου τοῦ Σταυροῦ, ἡ ἀληθινὴ κρεμασθεῖσα, ὑψώθη ἄμπελος, τότε σε κατάκαρπον κλῆμα ἐξέτεινε, τῇ δρεπάνῃ τεμνόμενον, σεπτοῦ μαρτυρίου, καὶ τοῖς τῶν κολάσεων, ληνοῖς πατούμενον, οὗπερ εὐφροσύνης κρατῆρα, πίστει συγκεράσαντες Πάτερ, τοὺς σεπτοὺς ἀγῶνάς σου δοξάζομεν.

Πόλις τῶν Σμυρναίων σε φαιδρῶς ἐπαγαλλομένη τῇ πίστει, ἀξίως σήμερον, Ἅγιε Πολύκαρπε, ὑμνεῖ γεραίρουσα, ὡς ποιμένα καὶ πρόεδρον, σεπτὸν καὶ προστάτην, ὡς ἱερομάρτυρα Χριστοῦ πανένδοξον, κλέος τε καὶ καύχημα μέγα, τοῦ πιστοῦ λαοῦ, ὃν παντοίων ἐκ κινδύνων ῥύου ταῖς πρεσβείαις σου.

## Δόξα, ἦχος πλ. β΄.

Ἀξίως τοῦ ὀνόματος ἐπολιτεύσω ἐπὶ γῆς, ἱεράρχα Πολύκαρπε· ὡς γὰρ κλῆμα εὔφορον τῆς ἀληθινῆς ἀμπέλου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καρπὸν ἤνεγκας πολὺν δικαιοσύνης τῷ κτίστῃ σου. καὶ ποιμὴν γενόμενος τῶν λογικῶν προβάτων, ἐξέλαμψας τοῖς ἔργοις σου, ἀστέρος δίκην φαεινοῦ φωτίζων τὴν οἰκουμένην· καὶ θέμενος ὑπὲρ αὐτῶν τὴν ψυχήν, αἵματι τοῦ μαρτυρίου ἐπορφύρωσας τὴν Ἐκκλησίαν, καὶ κατήρδευσας αὐτήν. Διὸ νῦν ἐν παῤῥησίᾳ σὺν χοροῖς μαρτύρων καὶ ἁγίων ἱεραρχῶν τῷ Θρόνῳ παριστάμενος τοῦ παντάνακτος Χριστοῦ, αὐτὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Καὶ νῦν, Τίς μὴ μακαρίσῃ σε.

## Εἴσοδος, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα, ἃ ζήτει Ἀπριλίου κγ΄.

## Εἰς τὴν Λιτὴν, στιχηρὰ ἰδιόμελα, ἦχος β΄.

Ἐκ νεότητος τῷ Δεσπότῃ Χριστῷ σεαυτὸν ἀφιέρωσας, παμμάκαρ Πολύκαρπε· ἐξ ἀγαθῆς γὰρ ῥίζης καρπὸς εὐκλεὴς ἀνεβλάστησας, καὶ τῷ ἠγαπημένῳ μαθητῇ προσομιλήσας, ἤντλησας



ἐξ αὐτοῦ τῆς Θεολογίας τὰ ἀπόρρητα μυστήρια, καὶ θείου φωτὸς μεθέξει τοῦ Ἁγίου Πνεύματος οἰκητήριον γέγονας· διὸ ἀξίως ἀναδέδειξαι λύχνος φαεινὸς καὶ ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἔθηκας τὴν ψυχὴν ὑπὲρ τῆς ποίμνης σου. Αὐτῷ οὖν παριστάμενος ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος ὁ αὐτός.

Ἡ τοῦ Πνεύματος χάρις, μακάριε, ταῖς τῶν θείων ἀρετῶν ἐπιλάμψεσιν ἐν σοὶ κατεσκήνωσε, καὶ Τριάδος γέγονας λαμπρὸν καταγώγιον. Ὅθεν καὶ θαυμάτων ἐργάτης τεραστίων ἐδείχθης καὶ τῆς ἀληθείας κῆρυξ ἰσαπόστολος, τῆς ἀθεΐας τὸ σκότος λύων τῷ φωτὶ τῆς θεογνωσίας, καὶ Χριστὸν ὁμολογήσας ἐν παῤῥησίᾳ ἔτυχες τοῦ μακαρίου τέλους· διὸ καὶ πρεσβεύεις ὑπὲρ τῶ ψυχῶν ἡμῶν.

## Ἦχος δ΄.

Δεῦτε σήμερον πιστοὶ τὸν τῆς ἀληθείας κήρυκα πνευματικῶς εὐφημήσωμεν· οὗτος γὰρ τοῦ θείου Πνεύματος πλησθεὶς, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀνεδείχθη ποιμὴν καὶ φωστὴρ φαεινὸς, καὶ τοὺς δεινοὺς λύκους τοὺς αὐτὴν λυμαινομένους σοφῶς ἐφίμωσεν. Ζῶν δὲ τῷ Χριςῷ ἐν σαρκὶ καὶ πνεύματι ςοιχῶν ὥς τις ἄσαρκος, σῶμα τὸ φύσει φθειρόμενον ὑπὲρ Χριστοῦ τῷ πυρὶ προθύμως παρέδωκεν. Ὅθεν σὺν ἀγγέλων χοροῖς νῦν διαιτώμενος πρέσβευει ἐν παῤῥησίᾳ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Δόξα, ἦχος πλ. δ΄.

Ἀποστολικαῖς παραδόσεσι μάκαρ ἑπόμενος, τοῖς θεοπνεύστοις λόγοις τὴν ψυχήν σου λαμπρῶς ἐκαλλιέργησας, καὶ τῇ τοῦ Πνεύματος δρόσῳ ὄλβιον τῆς χάριτος καρπὸν πλουσίως σεαυτῷ ἐθησαύρισας. Ὅθεν ἱερωσύνης τῷ χρίσματι χρισθεὶς τὰ λογικὰ πρόβατα εἰς νομὰς σωτηρίους ὡδήγησας, καὶ τὸν Υἱὸν καὶ Λόγον Πατρὶ καὶ Πνεύματι ὁμοούσιον ἀνεκήρυξας, πρὸ τῶν αἰώνων

ὄντα, ἐπ' ἐσχάτων δὲ φανερωθέντα ἐν σαρκί. Αἵματι δὲ μαρτυρίου ἐν γήρᾳ βαθεῖ τελειωθεὶς, χοροῖς μαρτύρων καὶ ἁγίων Πατέρων ἐν οὐρανοῖς συνηρίθμησαι· μεθ' ὧν καὶ ἡμᾶς, ἱερομάρτυς Πολύκαρπε, πρέσβευε Χριστῷ τῷ Θεῷ πάσης ἀνάγκης ῥυσθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου.

### Καὶ νῦν, Τὰ οὐράνια ὑμνεῖ σε.

### Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια.

### Ἦχος ά. Πανεύφημοι Μάρτυρες.

Καρποὺς ἐπλεόνασας Χριστῷ, ἀρετῶν μακάριε, ἔτι νεάζων τῷ σώματι, καὶ πρὸ τοῦ χρίσματος τῆς ἱερωσύνης, καὶ πρὸ τῆς ἀθλήσεως τῷ πνεύματι προκόπτων, Πολύκαρπε ἐπὶ τὰ κρείττονα· διὸ κλῆρον τὸν οὐράνιον, νεύσει θείᾳ, ἀξίως κεκλήρωσαι.

### Στίχ. Θαυμαστὸς ὁ Θεός.

Πτωχοῖς ἐπαρκέσας δαψιλῶς, δι' εὐχῆς ἐπλήρωσας, τὰς ἀποθήκας πανεύφημε, τῆς θρεψαμένης σε. Σὺ γὰρ Πάτερ πλήρης πίστεως γενόμενος, ἐπλούτησας ἐν θείοις χαρίσμασι τοῦ θείου Πνεύματος, καὶ ἀθλήσεως στεῤῥότητι προσηνέχθης θῦμα εὐπρόσδεκτον.

### Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τριάδος Ἁγίας λατρευταὶ, πάντες ἐπαγάλλονται ἐν τῇ σῇ μνήμῃ Πολύκαρπε, καὶ συνευφραίνονται ἀρεταῖς παμμάκαρ ταῖς σαῖς εὐωχούμενοι, δοξάζοντες Χριστὸν τὸν φιλάνθρωπον, τὸν σὲ δοξάσαντα καὶ προστάτην ἀναδείξαντα τῆς ποίμνης θερμότατον.

### Δόξα, ἦχ. πλ. δ'.

Τῆς χάριτος τὸν βότρυν ἀληθῶς γεωργήσας ἐν τῇ ψυχῇ σου, Πάτερ σοφὲ, ἐξέβλυσας ὡς οἶνον κατανύξεως τὸν τῆς πίστεως



λόγον, τὸν εὐφραίνοντα πιστῶν τὰς διανοίας, καὶ θαυμάτων ὤφθης πέλαγος ἀπέραντον. Ὅθεν καὶ μαρτύρων καλλονὴ ἀνεδείχθης θαυμαστῶς ἐν πυρὶ τελειωθεὶς, καὶ θείου φωτὸς ἀϊδίως ἐγένου κοινωνὸς, μάκαρ Πολύκαρπε· οὗ καὶ ἡμᾶς μετασχεῖν, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῷ σαρκωθέντι ἀφράστως Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

### Καὶ νῦν, Δέσποινα πρόσδεξαι.

### Ἀπολυτίκιον ἦχ. δ'.

Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε εἰς θεωρίας ἐπίβασιν. Διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν καὶ τῇ πίστει ἐνήθλησας, μέχρις αἵματος ἱερομάρτυς Πολύκαρπε. Πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Δόξα, καὶ νῦν, Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

## Μετὰ τὴν ά. στιχολογίαν, Κάθισμα.

### Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Πολύκαρπε σοφέ, ἱεράρχα Κυρίου, μαρτύρων εὐκλεὴς καὶ πατέρων ἀκρότης, θεόφρον καὶ μακάριε, τῆς Τριάδος ὑπέρμαχε, σὲ γεραίρομεν καὶ εὐφημοῦμεν ἐνθέρμως, καὶ δοξάζομεν τὸν τῆς φθορᾶς καθαιρέτην, Χριστὸν τὸν Θεὸν ἡμῶν.

### Δόξα, καὶ νῦν, Θεοτοκίον ὅμοιον

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν,' σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

## Μετὰ τὴν β'. στιχολογίαν, Κάθισμα.

### Ἦχος γ'. Τὴν ὡραιότητα.

Σμύρνης ὁ κράτιστος ποιμὴν καὶ ἔνδοξος, φύλαξ ὁ ἄγρυπνος, θεῖος Πολύκαρπος, πνευματικῶς ἡμᾶς πιστοὶ, τὴν σήμερον συγκαλεῖται, τὰ αὐτοῦ παλαίσματα προτιθεὶς εἰς ἑστίασιν, οἶνον δὲ σωτήριον κεραννύων τὰ αἵματα. Αὐτὸν οὖν ἐκ πόθου προσείπωμεν, χαῖρε τῶν ἀθλοφόρων δόξα.

### Δόξα, καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε. Ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον, τί δὲ ὀνομάσω σε, ἀπορῶ καὶ ἐξίσταμαι. Διὸ ὡς προσετάγην βοῶ σοι, Χαῖρε ἡ κεχαριτωμένη.



## Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

### Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον

Τῶν θαυμάτων τὴν χάριν Πάτερ λαβὼν, ἀποθήκας ἐπλήρωσας προσευχῇ, τῆς χήρας ἃς ἐκένωσας ὑπὲρ πεινώντων μακάριε, καὶ πυρὸς ἀνέστειλας ὁρμὴν ἀκατάσχετον, καὶ ὑετὸν διψώσῃ τῇ γῇ σὺ κατήγαγες. Ὅθεν ἐπαξίως ἀπιστούντων ὁμίλους τῇ πίστει προσείλκυσας, ὡς ποιμὴν γνησιώτατος. Διὰ τοῦτο βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

### Δόξα, καὶ νῦν, Θεοτοκίον ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτὸν, τὸ πανάγιον Ὄρος, τὴν φωταυγῆ νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς οἰκουμένης πάσης τὸ μέγα κειμήλιον, ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων· διὰ τοῦτο βοῶμεν αὐτῇ. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

### Τὰ ἀντίφωνα τοῦ δ'. ἤχου

### Προκείμενον, ἦχος δ'.

*Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

*Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκου Κυρίου*

### Πᾶσα πνοή.

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Κατὰ Λουκᾶν.* (*Ζήτει Ἀπριλίου 23 εἰς τὸν Ὄρθρον*).

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Εἶτα ὁ Ν'. Δόξα, Ταῖς τοῦ ἱεράρχου πρεσβείαις,

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον, ἦχος β'.

*Ἡ τοῦ Πνεύματος χάρις μακάριε (Ζήτει ἐν τῇ Λιτῇ).*

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κτλ.

Εἶτα ψάλλεται ὁ κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, (ὃν ζήτει ἐν τῷ Μηναίῳ).

Ἀφ' ἕκτης Κοντάκιον.

Ἦχος ά. Χορὸς Ἀγγελικός.

*Καρποὺς τοὺς λογικούς, τῷ Κυρίῳ προσφέρων, Πολύκαρπε σοφέ, ἀρετῶν δι' ἐνθέων, ἐδείχθης ἀξιόθεος, ἱεράρχα μακάριε. Ὅθεν σήμερον οἱ φωτισθέντες σοῖς λόγοις, ἀνυμνοῦμέν σου, τὴν ἀξιέπαινον μνήμην, δοξάζοντες Κύριον.*

Ὁ Οἶκος.

*Τὴν τῆς σοφίας χρηστότητα ἀρυσάμενος, ἐξ αὐτῆς Πάτερ ἐπλήσας θεογνωσίᾳ τὴν ποίμνην σου, καὶ τῆς παναγίας καὶ ἀῤῥήτου Θεότητος τὸ τρισήλιον ἤστραψας, τοῦ Πατρὸς τὸ ἀγέννητον, Υἱοῦ δὲ τὴν γέννησιν καὶ ἐκπόρευσιν Πνεύματος, μίαν Θεότητα, μίαν δόξαν τρανῶς ἐκδιδάξας καὶ εἰδώλων ἀθεΐαν ἐκ ποδῶν ποιησάμενος, καρποὺς δὲ ὡρίμους, ψυχὰς πιστευόντων προσήγαγες τούτῳ ἔνδοξε, ἐν ᾧ βεβαπτίσμεθα, εἰς ὃν καὶ πιστεύομεν, δοξάζοντες Κύριον.*



Τῌ ΚΓ'. ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ μνήμη τοῦ ἁγίου ἐνδόξου Ἱερομάρτυρος Πολυκάρπου ἐπισκόπου Σμύρνης.

***Σοὶ Πολύκαρπος ὡλοκαυτώθη Λόγε,***
***Καρπὸν πολὺν δοὺς ἐκ πυρὸς ξενοτρόπως.***
***Εἰκάδι ἐν τριτάτῃ κατὰ φλὸξ Πολύκαρπον ἔκαυσεν.***

Ὁ θεῖος οὗτος τῆς Ἐκκλησίας Πατὴρ καὶ προφητικὸς λύχνος τῶν δοκιμασιῶν τῆς τῶν Σμυρναίων Ἐκκλησίας ἤκμασε κατὰ τὴν Ἀποστολικήν, ὡς ἔγγιστα, τῆς Ἐκκλησίας περίοδον, καὶ τάσσεται ἐν τῇ σειρᾷ τῶν ἀποστολικῶν πατέρων. Γεννηθεὶς ἐν τῇ Ἀσίᾳ υἱοθετήθη καὶ ἀνετράφη, ὡς πολλοὶ ἱστοροῦσι, παρά τινος ἐναρέτου καὶ πλουσίας γυναικὸς χήρας· ἐν ἡλικίᾳ δὲ γενόμενος ηὐμοίρησεν ἀκροάσασθαι πολλῶν ἀποστολικῶν ἀνδρῶν ἰδόντων αὐτοψεὶ τὴν ἐπὶ γῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίαν· παρὰ τούτων, ὡς μαρτυροῦσιν ὁ Εὐσέβιος καὶ ὁ Εἰρηναῖος, μυηθεὶς τὴν εἰς Χριστὸν πίστιν καὶ βαπτισθείς, σκεῦος ἐκλεκτὸν καὶ ἅγιον τῆς ἀληθείας ἑαυτὸν διὰ τῆς ἐπιμελείας κατέστησεν· εἶτα δὲ μαθητὴς ἔνθερμος τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Ἰωάννου γενόμενος καὶ τοῖς αὐτοῦ διδάγμασι προθύμως ἑπόμενος τῆς ἀρετῆς τέλειος χαρακτὴρ ἀναδείκνυται, καὶ κλῆμα τῆς ἀληθινῆς ἀμπέλου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εὔκαρπόν τε καὶ πολύκαρπον φερωνύμως καθίσταται. Διὸ καὶ πρὸ τῆς ἱερωσύνης τῶν θαυμάτων τῆς χάριτος ἀξιοῦται. διὰ προσευχῆς τοὺς ὑπὲρ πεινώντων κενωθέντας τῆς θρεψαμένης αὐτὸν γυναικὸς σιτῶνας πληρώσας καὶ πυρὸς παμφάγου ὁρμὴν ἀκατάσχετον ἐπισχών· μετὰ δὲ τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ γῇ αὐχμώσῃ ὑετὸν ἐπαγαγών, καὶ τούτου πάλιν τὴν ἀμετρίαν διὰ τῆς προσευχῆς ἀναστείλας. Καθάπερ δὲ ζωηρότατα καὶ ὁ μαθητὴς τούτου Εἰρηναῖος ἔν τινι πρὸς Φλωρῖνον ἐπιστολῇ μαρτυρεῖ, ἕνεκα τῆς ἐν Χριστῷ πνευματικῆς αὐτοῦ ἀγωγῆς, ἕνεκα τῆς θερμῆς πρὸς τὸν πλησίον ἀγάπης, ἕνεκα τῆς αὐστηρότητος τῶν ἠθῶν, ἐν συνόλῳ δ' εἰπεῖν, ἕνεκα πάντων αὐτοῦ τῶν προτερημάτων, ὁ μὲν θεῖος Βουκόλος τὴν ἱερωσύνην αὐτοῦ προθεσπίζει, τὰ δὲ πλήθη τῶν Ἰουδαίων καὶ Ἐθνικῶν ὡς ὑπὸ φόβου σεβόμενοι τὴν ἀρετὴν τοῦ ἀνδρὸς πατέρα τῆς εὐσεβείας καὶ τῆς Ἀσίας διδάσκαλον τοῖς πᾶσιν αὐτὸν ἐκήρυττον. Διὸ καὶ τοῦ θείου Βουκόλου τελευτήσαντος, ὡς ὁ Τερτυλλιανὸς καὶ Ἱερώνυμος μαρτυροῦσιν, κοινῇ ψήφῳ πάντων τῶν τῆς Ἀσίας ἐπισκόπων τὸν Πολύκαρπον Σμύρνης ἐπίσκοπον Ἰωάννης ὁ Θεολόγος προχειρίζεται. Ἐνταῦθα δὲ οἱ ἐκκλησιαστικοὶ ἅπαντες συγγραφεῖς λαμπρῶς ἐγκωμιάζουσι τὴν ὑπὲρ εὐσταθείας καὶ προκοπῆς ἐν τῇ πίστει τῆς διαπιστευθείσης αὐτῷ ποίμνης αὐταπάρνησιν, τὴν σύνεσιν, τὸν ἔνθερμον ζῆλον ὑπὲρ τῆς δόξης τῆς καθόλου τοῦ Χριστοῦ Ἐκκλησίας, τὴν χαριτόβρυτον αὐτοῦ διδασκαλίαν καὶ διηνεκῆ πρὸς τοὺς αἱρετικοὺς πάλην, οἵτινες καὶ δεινοπαθήματα οὐκ ὀλίγα πάντοτε αὐτῷ παρε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σκεύαζον. Ὁ δὲ Εἰρηναῖος (Κατὰ αἱρέσ. γ'. 3) διηγεῖται καὶ τοῦτο, ὅτι ἐπὶ τῆς Αὐτοκρατορίας Ἀντωνίνου τοῦ Πίου ἐπισκοπεύοντος τῆς Ῥώμης Ἀνικήτου μετέβη κατὰ ζῆλον τῆς ἐκκλησιαστικῆς εὐταξίας ὁ ἅγιος Πολύκαρπος εἰς Ῥώμην πρὸς διακανόνισιν τῆς ἑορτῆς τοῦ Πάσχα· ἡ ἐκεῖ ἐκκλησία ἀξίως τῆς φήμης, ἧς ἀπήλαυεν ὁ Πολύκαρπος παρὰ πᾶσι, μεγάλων τιμῶν καὶ περιποιήσεων αὐτὸν ἠξίωσεν· ἀλλὰ μὴ συμβιβασθέντος τοῦ Ἀνικήτου πρὸς τὴν γνώμην αὐτοῦ τὴν ἐπὶ παραδόσεων ἀποστολικῶν θεμελιουμένην, ἐπέστρεψεν ἄπρακτος καὶ διέμεινε μέχρι τοῦ μαρτυρικοῦ αὐτοῦ τέλους ποιμαίνων τὴν προσφιλῆ ποίμνην, ὑπὲρ ἧς ἀγωνιζόμενος τὰ πάντα προσίεται καὶ θῦμα ἐν ἡλικίᾳ ἐτῶν ἐνενήκοντα ἓξ τοῖς ἀνόμοις παραδίδοται. Τὸ ἱερὸν αὐτοῦ μαρτύριον ἐξιστορεῖ λεπτομερῶς ὁ Εὐσέβιος. Ἐνταῦθα δὲ πρὸς χάριν τῶν τὴν μνήμην αὐτοῦ σεβομένων ὀλίγα τινὰ ἀναφέρομεν.

Τῆς μυστικῆς Ἀποκαλύψεως ἀρχόμενος ὁ Εὐαγγελιστὴς Ἰωάννης κατὰ τὰ τρία πρῶτα κεφάλαια προλέγει τὰς δοκιμασίας, ἅς τινας μετ' ὀλίγον ἔμελλον ὑποστῆναι αἱ ἑπτὰ ὑπ' αὐτοῦ συστηθεῖσαι ἐν τῇ Ἀσίᾳ ἐκκλησίαι, ὧν ἡ μία ὑπάρχει καὶ ἡ τῆς Σμύρνης τὴν δευτέραν κατέχουσα τάξιν ἐκκλησία. (Ἀποκαλ. κεφ. β'. 8—12). Ἀληθῶς πρὶν ἢ παρέλθῃ χρόνος πολύς, λυσσώδης κατὰ τοῦ χριστιανισμοῦ διωγμὸς ἐπῆλθε, τοῖς χριστιανοῖς τῆς Σμύρνης ἐπισκοποῦντος τοῦ γηραιοῦ Πολυκάρπου, ὅστις ἀξίως ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ἄγγελος τῆς ἐν Σμύρνῃ ἐκκλησίας ὀνομάζεται. Ὁ διωγμὸς οὗτος ἐγένετο ἐπὶ Ἀνθυπάτου Σμύρνης Στατίου Κουαδράτου, αὐτοκρατορίας δὲ Ἀντωνίνου τοῦ Πίου ἢ κατ' ἄλλους τοῦ πέμπτου ἥρωος τῶν διωκτῶν τοῦ χριστιανισμοῦ Μάρκου Αὐρηλίου, ὅστις μὴ ὑποφέρων τὴν φήμην τῆς Ἐκκλησίας ταύτης διέταξεν αὐστηρῶς τὸν Ἀνθύπατον, ὅπως συλλαβὼν θανατώσῃ τὸν λαμπρύναντα αὐτὴν ποιμένα Πολύκαρπον.

Οἱ χριστιανοὶ τῆς Σμύρνης μὴ ἀνεχόμενοι τὴν στέρησιν τοιούτου ἐναρέτου ποιμένος καὶ τῆς ἐκκλησίας αὐτῶν ἑδραιώματος ἐν παραβύστῳ ἔκρυπτον αὐτὸν ἐπὶ χρόνον ἱκανόν· μαθὼν ὁ Ἅγιος ὅτι οἱ ζητοῦντες τὴν ψυχὴν αὐτοῦ διὰ προδοσίας ἀνεκάλυψαν τὸ μέρος ἔνθα διεφυλάσσετο, οὐδόλως ἐταράχθη, ἀλλὰ μετὰ χαρᾶς ἀνέμενε τὸν ὑπὲρ Χριστοῦ θάνατον, Γενηθήτω, λέγων, τὸ θέλημα τοῦ Κυρίου. Καίτοι δὲ οἱ Χριστιανοὶ παρεῖχον αὐτῷ μέσα διαφυγῆς, οὗτος προθύμως ἐμφανισθεὶς ὑποδέχεται τοὺς ζητοῦντας αὐτὸν καὶ φιλοφρόνως περιποιεῖται· εἶτα προσευξάμενος, ὡς ὁ Δεσπότης πρὸ τῆς προδοσίας, παρέδωκεν ἑαυτὸν τοῖς ζητοῦσιν, οἵτινες παραλαβόντες ἀπήγαγον πρὸς τὸν Ἀνθύπατον Στάτιον. Ὁ Ἀνθύπατος ἰδὼν τὴν γηραιὰν αὐτοῦ ἡλικίαν ἐσεβάσθη τὸ πρῶτον τὸν Ἅγιον· καὶ τὸν μὲν ὄχλον ἀπέτρεπε θορυβεῖν· τοῦτον δὲ παρεκάλει χάριν του ὄχλου βλασφημῆσαι μόνον τὸν Χριστόν, ὀμόσαι δὲ τῷ Καίσαρι. «Μή μοι παρακοὴν ποιήσῃς, λέγων, καὶ ἐγώ σε ἀπολύσω, πολλὰ δὲ χαρίσματα ἀποδώσω σοι»· οὐδεμίαν δ' ἀπόκρισιν πρὸς ταῦτα δόντος τοῦ Ἁγίου θυμωθεὶς ὁ Ἀνθύπατος, «Βλασφήμησον, λέγει, τὸν Χριστόν, ἢ πεῖσον τὸν ὄχλον ἀπελθεῖν, καὶ ἀπολύσω σε». Τότε ὁ Ἅγιος μετὰ παρρησίας ἀπήντησε:



«Καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα καὶ Σωτῆρά μου καὶ Θεόν μου, ᾧ περ ὀγδοήκοντα καὶ ἓξ ἤδη ἔτη ὑπηρετῶν παντοίων ἀγαθῶν ἠξιώθην; Χριστιανός εἰμι καὶ οὐ κρύπτω· οὐ θῆρες, οὐδὲ πυρὸς φλόγες πτοοῦσί με, ὥστε τὸν Σωτῆρά μου βλασφημῆσαι»· τότε ὁ ὄχλος λυσσήσας κατὰ τοῦ Ἁγίου ἐκραύγαζεν, «οὗτός ἐστιν ὁ ἀνατρέπων τοὺς θεοὺς ἡμῶν· οὗτός ἐστιν ὁ μὴ προσκυνεῖν τοῖς θεοῖς ἡμῶν τοὺς πάντας διδάσκων· ἐὰν ἀφῶμεν ζῶντα, πάντας οὗτος πρὸς τὸν Χριστὸν ἑλκύσει. Δεῦτε, λοιπὸν καὶ τῷ πυρὶ ταχέως παραδῶμεν». Ἐπιτρέψαντος δὲ τοῦ Ἀνθυπάτου ἔργον τὸν λόγον ποιῆσαι, ἔδραμον πανταχόθεν ξύλα συλλέγοντες διὰ τὴν πυρὰν οὐ μόνον οἱ ἐθνικοί, ἀλλὰ καὶ οἱ Ἰουδαῖοι. Ὁ δὲ Ἅγιος ἵστατο προσευχόμενος καὶ ἐνισχυόμενος ὑπὸ τοῦ Σωτῆρος ἡμῶν, εἶτα μόνος γυμνωθεὶς καὶ τὰς χεῖρας τῷ δημίῳ ἐπιτρέψας δῆσαι ὀπίσω, ἐλθὼν ἔστη παρὰ τὴν ἑτοιμαζομένην πυράν· τότε προσήνεγκε τὴν διασωθεῖσαν συγκινητικωτάτην προσευχὴν ἔχουσαν οὕτω: «Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ ὁ τοῦ ἀγαπητοῦ παιδός σου Πατήρ, δι' οὗ τὴν περὶ σοῦ ἐπίγνωσιν εἰλήφαμεν. Ὁ Θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης τῆς κτίσεως καὶ παντὸς τοῦ γένους τῶν δικαίων, εὐλογῶ σε, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης τοῦ λαβεῖν με μέρος ἐν τῷ ἀριθμῷ τῶν μαρτύρων σου ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου καὶ ἀνάστασιν ζωῆς αἰωνίου· προσδεχθείην σήμερον ἐνώπιόν σου ἐν θυσίᾳ πίονι, καθὼς προεδήλωσάς μοι, ὁ ἀψευδὴς Θεός μου· διὰ τοῦτο αἰνῶ, εὐλογῶ καὶ δοξάζω σε σὺν τῷ ἐπουρανίῳ καὶ ἀγαπητῷ σου Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν». Ἐν τούτοις ἡ πυρὰ ἀνήφθη, ὁ δὲ Ἅγιος ἔρριψεν ἑαυτὸν ἐντὸς τῶν φλογῶν· ἀλλ' ὢ τοῦ θαύματος! ἐξεπλάγησαν πάντες βλέποντες τὰς φλόγας ταπεινουμένας ἐνώπιον τοῦ γηραιοῦ σώματος· ἀλλὰ τοῦ δημίου ξίφος ἐμπήξαντος τῷ σώματι τοῦ Ἁγίου ἐξέρρευσε τὸ αἷμα καὶ κατέσβεσε τὸ πῦρ. Οἱ δὲ Ἰουδαῖοι φοβούμενοι μὴ τὸ σῶμα μείνῃ τοῖς Χριστιανοῖς, ἀνῆψαν καὶ αὖθις τὴν πυρὰν καὶ κατέκαυσαν αὐτὸ μέχρι σποδοῦ, ἣν μετὰ ταῦτα εὐλαβῶς συλλέξαντες οἱ Χριστιανοὶ κατέθεντο ἐν τάφῳ, ὅστις κατὰ παράδοσιν ἐγγύτατα τῶν ἐρειπίων παλαιᾶς τινος Ἐκκλησίας ἐπιδείκνυται ἐπὶ τῆς πλευρᾶς τοῦ Πάγου μεσημβρινοανατολικῶς τῆς πόλεως, πλησιέστατα τῆς σκηνῆς τοῦ μαρτυρίου αὐτοῦ.

Τῌ ΑΥΤῌ ΗΜΕΡᾼ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ἰωάννου, Μωϋσέως, Ἀντιόχου καὶ Ἀντωνίνου.

***Σύνταγμα τετράριθμον ἀνδρῶν τιμίων***
***Συντάσσεταί σοι, καὶ μεθίσταται βίου.***

Τῌ ΑΥΤῌ ΗΜΕΡᾼ, ἡ Ἁγία Γοργονία, ἀδελφὴ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται.

***Τιμῶ τελευτὴν σὴν σιγῇ, Γοργονία,***
***Γρηγορίου μέλψαντος αὐτὴν ἐκ λόγων.***

ΔΕΙΟΣ ΒΙΒΛ ... ΝΤΟΡΗΣ ΠΑΠ

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ὁ Ἅγιος Μάρτυς Κλήμης, ξίφει τελειοῦται.

*Κλήμης, τὸ κλῆμα τῆς νοητῆς ἀμπέλου,*
*Καινόν τι γλεῦκος αἷμα τμηθεὶς ἐκχέει.*

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, ἡ Ἁγία Μάρτυς Θεή, ξίφει τελειοῦται.

*Θεὴν ἀποσκώπτουσαν εἰς θεοὺς πλάνους,*
*Οἱ τῆς πλάνης κτείνουσι προστάται ξίφει.*

ΤΗ ΑΥΤΗ ΗΜΕΡΑ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ζεβινᾶ, Πολυχρονίου, Μωϋσέως καὶ Δαμιανοῦ.

*Θεῖος Ζεβινᾶς λῆξιν εἰς θείαν φθάνει,*
*Λήξαντος αὐτῷ τοῦ παρ' ἀνθρώποις βίου.*
*Πολυχρόνιος καὶ συνασκηταὶ δύω,*
*Οἱ τρεῖς ὁμοῦ πληροῦσι τοὺς ζωῆς χρόνους.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Μετὰ τὴν θ'. ᾠδὴν τοῦ Κανόνος αἱ Καταβασίαι. Ἀνοίξω τὸ στόμα μου.

### Ἐξαποστειλάριον.
### Γυναῖκες ἀκουτίσθητε.

*Πολλοὺς καρποὺς προσήνεγκας, Χριστῷ σοφὲ Πολύκαρπε, τοὺς διὰ σοῦ σεσωσμένους, βροτοὺς ἐκ πλάνης δαιμόνων, ἱερομάρτυς ἔνδοξε, Ἀγγέλλων ἰσοστάσιε, καὶ Ἀποστόλων σύσκηνε, μεθ' ὧν μνημόνευε Πάτερ, τῶν σὲ τιμώντων ἐκ πόθου.*

### Θεοτοκίον ὅμοιον

*Ἐῤῥάγη μητροπάρθενε, τὸ τοῦ φραγμοῦ μεσότοιχον, καὶ οἱ θνητοὶ σὺν Ἀγγέλλοις, τῷ σῷ συνήφθησαν τόκῳ· καὶ νῦν Θεογενήτρια, νηστεύειν ἡμᾶς κράτυνον, καὶ φθάσαι τὴν τριήμερον, ἀνάστασιν τοῦ υἱοῦ σου, εἰλικρινῶς προσκυνῆσαι.*



Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, δευτεροῦντες τὸ α'.

### Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

*Γέρας σοι τῶν ἀγώνων Χριστός, τὴν τῶν θαυμάτων ἐπαξίως ἐνέργειαν, παρέσχεν Ἱερομάρτυς, ὑπὲρ αὐτοῦ ἀνδρικῶς καὶ νομίμως ὄντως ἐναθλήσαντι, θεόφρον Πολύκαρπε· γηραιῷ γὰρ ἐν σώματι, ἀλλ' ἀκμαζούσῃ, τῇ ψυχῇ Θείῳ ἔρωτι, πρὸς τὰ σκάμματα θαῤῥαλέως ἐχώρησας. Ὅθεν τῶν περιστάσεων, κινδύνων καὶ θλίψεων, διασκεδάζεις τὴν ζάλην, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, τοῖς πίστει καὶ πόθῳ τὴν σὴν ἄθλησιν τιμῶσι Θεομακάριστε.* (δίς.)

*Αρόν σου τὰς σεπτὰς πρὸς Θεόν, καὶ θυηπόλους καὶ ἁγίας Πολύκαρπε, παλάμας καὶ νῦν ὡς πάλαι, τὰς ἀναιμάκτους αὐτῷ, καὶ φρικτὰς προσφέρων ἱερώτατε, θυσίας καὶ λύτρωσιν παρ' αὐτοῦ τοῖς τιμῶσί σε, πυρὸς λοιμοῦ τε καὶ σεισμοῦ καὶ κακώσεως πάσης αἴτησαι, καὶ τῇ ποίμνῃ βοήθειαν, Πάτερ ὡς συμπαθέστατος, ποιμὴν καὶ χρηστότατος, τὸν τῶν ἁπάντων Δεσπότην ἐξευμενίζων ἑκάστοτε, ταῖς σαῖς ἱκεσίαις, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.*

*Βάσιν καὶ στηριγμὸν ἀῤῥαγῆ τῇ ἐκκλησίᾳ σε Χριστὸς ἐδωρήσατο, Σμυρναίων τῇ πόλει Πάτερ ἐγκαθιδρύσας λαμπρῶς, στερεοῦντα ταύτην θείοις δόγμασιν, ὁμοῦ τε καὶ θαύμασιν. Ὡς ἀστὴρ γὰρ φαεινότατος, λάμψας τῇ πίστει νοητῷ ἐν ὁρίζοντι, διεσκέδασας ἀθεΐας τὴν ζόφωσιν· ὡς δὲ πολύχους ἤνεγκας, καρποὺς στάχυς ὅσιε, τῶν ἀρετῶν τῷ Δεσπότῃ, καὶ ὡς χρυσὸς δεδοκίμασαι, τῷ πυρὶ καὶ ὡς θῦμα, προσηνέχθης εὐπροσδέκτως ὑπὲρ τῆς ποίμνης σου.*

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Δόξα, ἦχος δ΄.

Ἱερουργήσας εὐσεβῶς τοῦ Χριστοῦ τὴν μυστικὴν ἱερουργίαν, λογικὸν ἱερεῖον αὐτὸς εἰς τέλος προσήχθης τῷ Θεῷ, θυσία δεκτὴ εὐάρεστος ὁλοκαύτωσις, Πολύκαρπε θεσπέσιε. Ὅθεν ἡ φωτοφόρος μνήμη σου λαμπρῶς ἀνατείλασα σήμερον, ἐν τῷ τῆς Ἐκκλησίας στερεώματι, φωτίζει καὶ φαιδρύνει τὰς ψυχὰς τῶν εὐσεβούντων μακάριε, καὶ μετόχους πάντας ποιεῖ τῆς θείας φωτοφανείας. Ὡς ἄγγελος φωτὸς γὰρ ἐπὶ γῆς τῷ βίῳ διαπρέψας, ἐθαυμαστώθης ἐκ Θεοῦ, καὶ μύστης τῶν ἀῤῥήτων γέγονας· Καὶ νῦν τῷ θρόνῳ τῆς μεγαλωσύνης αὐτοῦ παρεστὼς, πρεσβεύεις ἐν παῤῥησίᾳ εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν, ἐκ παντοίων κινδύνων.

### Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ, ὡς σύνηθες.

Σημ. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν ἡμέρᾳ Κυριακῇ, ἢ ἐντὸς τῆς Μεγάλης Τεσσαρακοστῆς, βλέπε τυπικὴν διάταξιν τῇ κδ΄. Φεβρουαρίου.

Π α ρ ό ρ α μ α. —Ἐν σελ. 11 ἀνάγν. θυηπόλος, ἀντὶ θειοπόλος.

Τ Ε Λ Ο Σ.

# ΚΑΤΑΛΟΓΟΣ

## ΤΩΝ ΓΝΩΣΤΩΝ ΕΠΙΣΚΟΠΩΝ ΣΜΥΡΝΗΣ.

. . . Βουκόλος.
. . . Πολύκαρπος, ἐμαρτύρησε τῷ 166.
431 Ἰδδούας.
440 Αἰθέριχος.
445 Κῦρος.
536 Καλλόης.
546 Φώτιος.
692 Στέφανος.
850 Μητροφάνης.
879 Νικήτας.
. . . Νικήτας ἕτερος τὴν ιά ἑκατ.
1043 Ἰωάννης.
1228 Γεώργιος Καλοκτένης.
1250 Γεώργιος ἕτερος.
1256 Θεόδωρος.
1261 Ἰσαάκ.
1324 Ξενοφῶν.
1389 Διονύσιος.
1393 Ἀντώνιος.
1572 Γαβριήλ.
1585 Μακάριος
1658 Μακάριος ἕτερος.
1690 Γρηγόριος Κονταρῆς.
1698 Κυπριανός.
1707 Παρθένιος.
1717 Ἀνανίας.
1731 Νεόφυτος.
1766 Καλλίνικος.
1770 Προκόπιος.
1778 Γρηγόριος.
1797 Ἄνθιμος.
1822 Παΐσιος Α΄.
. . . Ἱερόθεος.
1831 Χρύσανθος Α΄.
1837 Παΐσιος Β΄.
1840 Χρύσανθος Β΄.
1841 Ἀθανάσιος.
1848 Ἄνθιμος.
1853 Παΐσιος Γ΄.
1858 Χρύσανθος Β΄. τὸ β΄.
1869 Μελέτιος.
1885 Βασίλειος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ